# SOFOCLE



# *Edipo re*

**PASSI SCELTI:**

- **1° Episodio vv. 216-254 (38)**

**----------------------------------------------------**

# 1° Episodio (vv. 216-254)

216. ΟΙ. Αἰτεῖς· ἃ δ' αἰτεῖς, τἄμ' ἐὰν θέλῃς ἔπη

…………………………………………………………………………………………..

217. κλύων δέχεσθαι τῇ νόσῳ θ' ὑπηρετεῖν,

…………………………………………………………………………………………..

218. ἀλκὴν λάβοις ἂν κἀνακούφισιν κακῶν.

…………………………………………………………………………………………..

219. Ἁγὼ ξένος μὲν τοῦ λόγου τοῦδ' ἐξερῶ,

…………………………………………………………………………………………..

220. ξένος δὲ τοῦ πραχθέντος· οὐ γὰρ ἂν μακρὰν

…………………………………………………………………………………………..

221. ἴχνευον αὐτός, μὴ οὐκ ἔχων τι σύμβολον·

…………………………………………………………………………………………..

222. νῦν δ', ὕστερος γὰρ ἀστὸς εἰς ἀστοὺς τελῶ,

…………………………………………………………………………………………..

223. ὑμῖν προφωνῶ πᾶσι Καδμείοις τάδε·

…………………………………………………………………………………………..

224. «Ὅστις ποθ' ὑμῶν Λάϊον τὸν Λαβδάκου

…………………………………………………………………………………………..

225. κάτοιδεν ἀνδρὸς ἐκ τίνος διώλετο,

…………………………………………………………………………………………..

226. τοῦτον κελεύω πάντα σημαίνειν ἐμοί·

…………………………………………………………………………………………..

227. κεἰ μὲν φοβεῖται, τοὐπίκλημ' ὑπεξέλοι

…………………………………………………………………………………………..

…………………………………………………………………………………………..

228. αὐτὸς καθ' αὑτοῦ· πείσεται γὰρ ἄλλο μὲν

……………………………………………………………………………………………..

229. ἀστεργὲς οὐδέν, γῆς δ' ἄπεισιν ἀσφαλής.

……………………………………………………………………………………………..

230. Εἰ δ' αὖ τις ἄλλον οἶδεν ἢ 'ξ ἄλλης χθονὸς

……………………………………………………………………………………………..

231. τὸν αὐτόχειρα, μὴ σιωπάτω· τὸ γὰρ

……………………………………………………………………………………………..

232. κέρδος τελῶ 'γὼ χἠ χάρις προσκείσεται.

……………………………………………………………………………………………..

233. Εἰ δ' αὖ σιωπήσεσθε, καί τις ἢ φίλου

……………………………………………………………………………………………..

234. δείσας ἀπώσει τοὔπος ἢ χαὐτοῦ τόδε,

……………………………………………………………………………………………..

235. ἃκ τῶνδε δράσω, ταῦτα χρὴ κλύειν ἐμοῦ.

……………………………………………………………………………………………..

236. Τὸν ἄνδρ' ἀπαυδῶ τοῦτον, ὅστις ἐστί, γῆς

……………………………………………………………………………………………..

237. τῆσδ' ἧς ἐγὼ κράτη τε καὶ θρόνους νέμω

……………………………………………………………………………………………..

238. μήτ' εἰσδέχεσθαι μήτε προσφωνεῖν τινα,

……………………………………………………………………………………………..

239. μήτ' ἐν θεῶν εὐχαῖσι μήτε θύμασιν

……………………………………………………………………………………………..

240. κοινὸν ποιεῖσθαι, μήτε χέρνιβος νέμειν·

……………………………………………………………………………………………..

241. ὠθεῖν δ' ἀπ' οἴκων πάντας, ὡς μιάσματος

…………………………………………………………………………………………..

242. τοῦδ' ἡμὶν ὄντος, ὡς τὸ Πυθικὸν θεοῦ

…………………………………………………………………………………………..

243. μαντεῖον ἐξέφηνεν ἀρτίως ἐμοί.

…………………………………………………………………………………………..

244. Ἐγὼ μὲν οὖν τοιόσδε τῷ τε δαίμονι

…………………………………………………………………………………………..

245. τῷ τ' ἀνδρὶ τῷ θανόντι σύμμαχος πέλω·

…………………………………………………………………………………………..

246. κατεύχομαι δὲ τὸν δεδρακότ', εἴτε τις

…………………………………………………………………………………………..

247. εἷς ὢν λέληθεν εἴτε πλειόνων μέτα,

…………………………………………………………………………………………..

248. κακὸν κακῶς νιν ἄμορον ἐκτρῖψαι βίον·

…………………………………………………………………………………………..

249. ἐπεύχομαι δ', οἴκοισιν εἰ ξυνέστιος

…………………………………………………………………………………………..

250. ἐν τοῖς ἐμοῖς γένοιτ' ἐμοῦ ξυνειδότος,

…………………………………………………………………………………………..

251. παθεῖν ἅπερ τοῖσδ' ἀρτίως ἠρασάμην.

…………………………………………………………………………………………..

252. Ὑμῖν δὲ ταῦτα πάντ' ἐπισκήπτω τελεῖν,

…………………………………………………………………………………………..

253. ὑπέρ τ' ἐμαυτοῦ τοῦ θεοῦ τε τῆσδέ τε

…………………………………………………………………………………………..

254. γῆς ὧδ' ἀκάρπως κἀθέως ἐφθαρμένης.»

………………………………………………………………………………………………..

255. τῷ Λαβδακείῳ παιδὶ Πολυδώρου τε καὶ

…………………………………………………………………………………………..

256. τοῦ πρόσθε Κάδμου τοῦ πάλαι τ' ᾿Αγήνορος·

…………………………………………………………………………………………..

257. καὶ ταῦτα τοῖς μὴ δρῶσιν εὔχομαι θεοὺς

…………………………………………………………………………………………..

258. μήτ' ἀροτὸν αὐτοῖς γῆς ἀνιέναι τινά,

…………………………………………………………………………………………..

259. μήτ' οὖν γυναικῶν παῖδας, ἀλλὰ τῷ πότμῳ

…………………………………………………………………………………………..

260. τῷ νῦν φθερεῖσθαι κἄτι τοῦδ' ἐχθίονι.

…………………………………………………………………………………………..

261. ῾Υμῖν δὲ τοῖς ἄλλοισι Καδμείοις ὅσοις

…………………………………………………………………………………………..

262. τάδ' ἔστ' ἀρέσκονθ' ἥ τε σύμμαχος Δίκη

…………………………………………………………………………………………..

263. χοἰ πάντες εὖ ξυνεῖεν εἰσαεὶ θεοί.

…………………………………………………………………………………………..

…………………………………………………………………………………………..

…………………………………………………………………………………………..

…………………………………………………………………………………………..

…………………………………………………………………………………………..

…………………………………………………………………………………………..

…………………………………………………………………………………………..

…………………………………………………………………………………………..

…………………………………………………………………………………………..

…………………………………………………………………………………………..

……………………………………………………………………………………………